

*Ἵλαθ' ἀποιχομένοις ἱκέταις σοῖς ἠδὲ παροῦσι*
*νῦν τε καὶ ἐσσομένοις ἁζομένοις σε ὅλως.*
*Ταύταν ἐκ κραδίης αἰτῶ χάριν ὡς πολύμοχθος*
*Παντόγαλος Γαβριὴλ, παρθενικὴ Μαρίη,*
*κοὐ μονος αὐτὰρ ἅπαντες ἀολλέες ἄζυγες ἁγνή*
*κύπτοντες κατὰ γῆς σ' ἀντιβολοῦμεν πάντες.*
*Νῦν δέ τι ἐλπωρὴ μερόπων, Μαρίη ἐρατεινή,*
*δέχνυο καὶ ἡμῶν ψυχοσόους τε μόγους.*
*'Απόκρισις·*
*Εὐμενέτειρα πέλω καὶ ἔσσομαι ὑμετέροισι*
*μόχθοις υἱὸν ἐμὸν πάντοτε λισσομένη.*